UNIVERSITETET I OSLO
DET HUMANISTISKE FAKULTET

**EKSAMEN – GRE1401 ATTISK PROSA, Høst 2010**
Dato: 14. oktober 2010 (4 timer)
Uten hjelpemidler
Oppgaven består av én side
Alle oppgavene skal besvares

A. Oversett til norsk:

Ἐὰν μὲν ἄρα σοφὸς <u>γένῃ</u>, ὦ παῖ, <u>πάντες</u> σοι φίλοι καὶ πάντες σοι οἰκεῖοι ἔσονται—χρήσιμος γὰρ καὶ ἀγαθὸς ἔσῃ—εἰ δὲ μή, σοὶ οὔτε ἄλλος οὐδεὶς οὔτε ὁ πατὴρ φίλος ἔσται οὔτε ἡ μήτηρ οὔτε οἱ οἰκεῖοι. οἷόν τε οὖν ἐπὶ τούτοις, ὦ Λύσι, μέγα φρονεῖν, ἐν οἷς τις <u>μήπω</u> φρονεῖ;

Καὶ πῶς ἄν; ἔφη.

Εἰ δ' ἄρα σὺ διδασκάλου δέῃ, οὔπω φρονεῖς.

Ἀληθῆ.

Οὐδ' ἄρα μεγαλόφρων εἶ, εἴπερ ἄφρων ἔτι.

Μὰ Δία, ἔφη, ὦ Σώκρατες, οὔ μοι δοκεῖ.

Καὶ ἐγὼ ἀκούσας αὐτοῦ ἀπέβλεψα πρὸς τὸν Ἱπποθάλη, καὶ ὀλίγου <u>ἐξήμαρτον</u>· ἐπῆλθε γάρ μοι εἰπεῖν ὅτι Οὕτω χρή, ὦ Ἱππόθαλες, τοῖς παιδικοῖς διαλέγεσθαι, ταπεινοῦντα καὶ συστέλλοντα, ἀλλὰ μὴ ὥσπερ σὺ χαυνοῦντα καὶ διαθρύπτοντα. κατιδὼν οὖν αὐτὸν ἀγωνιῶντα καὶ <u>τεθορυβημένον</u> ὑπὸ τῶν λεγομένων, <u>ἀνεμνήσθην</u> ὅτι καὶ <u>προσεστὼς</u> λανθάνειν τὸν Λύσιν ἐβούλετο· ἀνέλαβον οὖν <u>ἐμαυτὸν</u> καὶ ἐπέσχον τοῦ λόγου. καὶ ἐν τούτῳ ὁ Μενέξενος πάλιν ἧκεν, καὶ ἐκαθέζετο παρὰ τὸν Λύσιν, ὅθεν καὶ ἐξανέστη. ὁ οὖν Λύσις μάλα παιδικῶς καὶ φιλικῶς, λάθρᾳ τοῦ Μενεξένου, σμικρὸν πρός με λέγων ἔφη· Ὦ Σώκρατες, ἅπερ καὶ ἐμοὶ λέγεις, εἰπὲ καὶ Μενεξένῳ.

Platon, *Lysis*, 210d1–211a5

B. Besvar følgende grammatiske spørsmål til teksten (alle spørsmåla skal besvares):

1. Hva slags type konstruksjon er **ἐὰν μὲν ἄρα σοφὸς γένῃ, … πάντες σοι φίλοι καὶ πάντες σοι οἰκεῖοι ἔσονται** i første linje?

2. Bestem ordklasse og form, og oppgi oppslagsform, for følgende ord: **γένῃ**, **πάντες**, **μήπω**, **ἐξήμαρτον**, **τεθορυβημένον**, **ἀνεμνήσθην** og **προσεστώς**.

3. Forklar hvorfor **ταπεινοῦντα καὶ συστέλλοντα … χαυνοῦντα καὶ διαθρύπτοντα** i siste avsnitt står i akkusativ.

C. Tekstutdraget over utgjør siste del av Sokrates' første samtale med Lysis om φιλία. Oppsummer denne samtalen og diskuter den i lys av dialogen som helhet. Trekk gjerne inn aspekter som samtalens «funksjon» og tilknytning til handlinga og dialogen for øvrig.